UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Theophrasti characteres

### Theophrastus

### Oxonii, 1909

VI

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-4953

Visual Library

δορκαδείους ἀστραγάλους καὶ Θουριακὰς τῶν στρογγύλων
ληκύθους καὶ βακτηρίας τῶν σκολιῶν ἐκ Λακεδαίμονος καὶ
αὐλαίαν ἔχουσαν Πέρσας ἐνυφασμένους, καὶ αὐλίδιον παλαι-
στριαῖον κόνιν ἔχον καὶ σφαιριστήριον. καὶ τοῦτο περιὼν 10
χρηννύναι τοῖς φιλοσόφοις, τοῖς σοφισταῖς, τοῖς ὁπλομάχοις,
τοῖς ἁρμονικοῖς ἐπιδείκνυσθαι· καὶ αὐτὸς ἐν ταῖς ἐπιδείξεσιν
ὕστερον ἐπεισιέναι ἐπὶ ⟨τῷ τὸν ἕτερον εἰπεῖν⟩ τῶν θεωμένων
πρὸς τὸν ἕτερον, ὅτι τούτου ἐστὶν ἡ παλαίστρα.

## ΑΠΟΝΟΙΑΣ ς΄ VI

Ἡ δὲ ἀπόνοιά ἐστιν ὑπομονὴ αἰσχρῶν ἔργων καὶ λόγων, 1
ὁ δὲ ἀπονενοημένος τοιοῦτός τις, οἷος ὀμόσαι ταχύ, κακῶς 2
ἀκοῦσαι, λοιδορηθῆναι δυνάμενος, τῷ ἤθει ἀγοραῖός τις καὶ
ἀνασεσυρμένος καὶ παντοποιός. ἀμέλει δυνατὸς καὶ ὀρχεῖ- 3

---

*καὶ τίτυρον καὶ σικελικὰς περιστεράς. καὶ θουριακὰς τῶν στρογγύλων ληκύθους. καὶ βακτηρίας τῶν σκολιῶν ἐκ λακεδαιμονος καὶ αὐλαίαν ἔχουσαν πέρσας ἐνυφασμένους. καὶ ὅσα δή τινα τοιαῦτα.*

SCHOL. B ad v. 26 *τίτυρον*: *Δωριεῖς τὸν σάτυρον. καὶ ἔστι δὲ ὁ μικρὰν ἔχων οὐρὰν πίθηκος. ῥωνος* (*ρανωνος*?) *λορησισ εκ λ¯ μ̊* (obscuratae litterae). SCHOL. M: *τίτυρος δωρικῶς ὁ σάτυρος ἤγουν ὁ μικρὰν ἔχων οὐρὰν πίθηκος.*

SCHOL. B ad v. 27 *Θουριακάς*: *ἔθνος Ἰ⟨τα⟩λί⟨ας⟩* (?) *ἐν ᾧ λήκυθοι διαφέρωσαι* (*διαφέρουσαι*?) *τῶν ἄλλων ἐργάζονται.* SCHOL. M: *οἱ θούριοι ἔθνος ταραντινικὸν ἐν ᾧ λήκυθοι εἰργάζοντο διαφέρουσαι τῶν ἄλλων.*

M: Περὶ ἀπονοίας ς΄. *Ἡ ἀπόνοια ὑπομονή ἐστιν ἔργων αἰσχρῶν. καὶ ὁ ἀπονενοημένος, οἷος καὶ νήφων ὀρχεῖσθαι τὸν κόρδακα. ἀνασεσυρμένον τε*

---

28 *τῶν σκολιῶν* ⟨*τῶν*⟩ Edmonds 30 *περιὼν* (i. e. *περιιὼν*) A B 31 *χρηννύναι* (i.e. *κιχράναι*, cf. *χρηννύειν* x 13, cf. *Theophrastea* p. 15 n. 1, Praef. p. vi sq.) Foss: *χρὴ νῦν ἀεὶ* A B 32 *ἐνδείκνυσθαι* Cobet *ἐπιδείξεσιν* recc.: *ἀποδείξεσιν* A B 33 *ἐπεισιέναι* Foss: *ἔπεισιν* A B ⟨*τῷ εἰπεῖν τὸν ἕτερον*⟩ suppl. Foss, cuius ordinem mutavi

VI. 2 *καὶ λόγων* Stephanus: *δικαιολόγων* sic A B: *τε καὶ λόγων* Gale 3 *τις* B: *ἐστιν* A *ὀμόσαι . . . δυνατὸς καὶ* (v. 5) excerptoris indicia produnt ut omnino §§ 7–10 ⟨*ἑκὼν*⟩ *κακῶς* Herwerden 4 *ἀκοῦσαι* ⟨*καὶ*⟩ editores veteres *δυνάμενος* del. Meyer: *δυναμένοις* Foss

σθαι νήφων τὸν κόρδακα καὶ προσωπεῖον ἔχων ἐν κωμικῷ
4 χορῷ. καὶ ἐν θαύμασι δὲ τοὺς χαλκοῦς ἐκλέγειν καθ'
ἕκαστον παριὼν καὶ μάχεσθαι τούτοις τοῖς τὸ σύμβολον
5 φέρουσι καὶ προῖκα θεωρεῖν ἀξιοῦσι. δεινὸς δὲ καὶ πανδο-
κεῦσαι καὶ πορνοβοσκῆσαι καὶ τελωνῆσαι καὶ μηδεμίαν
αἰσχρὰν ἐργασίαν ἀποδοκιμάσαι, ἀλλὰ κηρύττειν, μαγει-
6 ρεύειν, κυβεύειν· τὴν μητέρα μὴ τρέφειν, ἀπάγεσθαι
κλοπῆς, τὸ δεσμωτήριον πλείω χρόνον οἰκεῖν ἢ τὴν αὑτοῦ
οἰκίαν.

7 Καὶ τοῦτο δ' ἂν εἶναι δόξειεν τῶν περιισταμένων τοὺς
ὄχλους καὶ προσκαλούντων, μεγάλῃ τῇ φωνῇ καὶ παρερρω-
γυίᾳ λοιδορουμένων καὶ διαλεγομένων πρὸς αὐτούς, καὶ
μεταξὺ οἱ μὲν προσίασιν, οἱ δὲ ἀπίασιν πρὶν ἀκοῦσαι αὐτοῦ,
ἀλλὰ τοῖς μὲν ἀρχήν, τοῖς δὲ συλλαβήν, τοῖς δὲ μέρος τοῦ
πράγματος λέγει, οὐκ ἄλλως θεωρεῖσθαι ἀξιῶν τὴν ἀπόνοιαν
αὐτοῦ, ἢ ὅταν ᾖ πανήγυρις.

8 Ἱκανὸς δὲ καὶ δίκας τὰς μὲν φεύγειν, τὰς δὲ διώκειν, τὰς
δὲ ἐξόμνυσθαι, ταῖς δὲ παρεῖναι ἔχων ἐχῖνον ἐν τῷ προ-
9 κολπίῳ καὶ ὁρμαθοὺς γραμματειδίων ἐν ταῖς χερσίν· οὐκ
ἀποδοκιμάζειν δὲ οὐδ' ἅμα πολλῶν ἀγοραίων στρατηγεῖν

---

*περιάγειν ἐν θεάτρῳ κέραμον οἰκεῖν πλεῖον ἢ οἰκίαν. ἐν δικαστηρίῳ παρεῖναι ἔχοντα ἐχῖνον ἐν τῷ προκολπίῳ. καὶ ὁρμαθοὺς γραμματιδίων ἐν ταῖς χερσίν.*

SCHOL. B ad v. 6 *κόρδακα*: *εἶδος αἰσχρᾶς καὶ ἀπρεποῦς ὀρχήσεως* (item fere M).

ID. B ad v. 23 *ἐχῖνον*: *σκεῦος χαλκοῦν ἐστι τῆς δικαστικῆς τραπέζης.*

---

6 ⟨μὴ⟩ *ἔχειν* recc.: ⟨*οὐκ*⟩ *ἔχων* Needham: ⟨*μὴ*⟩ *ἔχων* Schneider *κομικῷ* B 7 *χῶρῶι* A post *χορῷ* (conl. M et transposito *ἀνασεσυρμένος* v. 5) add. *ἀνασεσυρμένος περιάγειν* Edmonds 8 *τούτοις τοῖς* B: *τ̃τοις. τοῖς* A (i.e. *τώτοις. τοῖς*, sed ~ videtur in corr. esse): *τούτοις* del. recc.: *τούτων τοῖς* Petersen: *τούτων τοῖς* ⟨*δὶς*⟩ conieci 9 ⟨*οὐ*⟩ *φέρουσι* Corais 11 *ἐργασίαν αἰσχρὰν* A 13 *αὐτοῦ* A B 15 *τοῦτο* A B: *οὗτος* Casaubon: *τούτων* Needham; excerptorem noli emendare (vide ad v. 3) *δ'* del. Needham 18 *αὐτοῦ* ⟨*τὸ πᾶν*⟩? 19 *ἀρχὴν* B: *τὴν ἀρχὴν* A *συλλαβήν*] desideres *τελευτήν*; *συλλογὴν* Wachsmuthi, *συναφὴν* Naberi non quadrant 20 *λέγει* recc.: *λέγειν* A B *οὐ καλῶς* A 22 *τὰς δὲ ἐξόμνυσθαι* A: *ταῖς δὲ ἐξόμνυσθαι* B 24 *γραμματιδίων* A B 25 *ἀποδοκιμάζων* A B: corr. Meier inserens *καὶ* ante *οὐκ* *ἅμα πολλῶν* A B: *ἀλλαντοπωλῶν* conieci

καὶ εὐθὺς τούτοις δανείζειν καὶ τῆς δραχμῆς τόκον τρία ἡμιωβόλια τῆς ἡμέρας πράττεσθαι. καὶ ἐφοδεύειν τὰ μαγειρεῖα, τὰ ἰχθυοπώλια, τὰ ταριχοπώλια, καὶ τοὺς τόκους ἀπὸ τοῦ ἐμπολήματος εἰς τὴν γνάθον ἐκλέγειν.

[Ἐργώδεις δέ εἰσιν οἱ τὸ στόμα εὔλυτον ἔχοντες πρὸς 10 λοιδορίαν καὶ φθεγγόμενοι μεγάλῃ τῇ φωνῇ, ὡς συνηχεῖν αὐτοῖς τὴν ἀγορὰν καὶ τὰ ἐργαστήρια.]

## ΛΑΛΙΑΣ Ζʹ VII

Ἡ δὲ λαλιά, εἴ τις αὐτὴν ὁρίζεσθαι βούλοιτο, εἶναι ἂν 1 δόξειεν ἀκρασία τοῦ λόγου, ὁ δὲ λάλος τοιοῦτός τις, οἷος 2 τῷ ἐντυγχάνοντι εἰπεῖν, ἂν ὁτιοῦν πρὸς αὐτὸν φθέγξηται, ὅτι οὐθὲν λέγει καὶ ὅτι αὐτὸς πάντα οἶδεν καὶ ἂν ἀκούῃ αὐτοῦ, μαθήσεται· καὶ μεταξὺ δὲ ἀποκρινομένῳ ἐπιβάλλειν· 3 'εἶπας σύ; μὴ ἐπιλάθῃ, ὃ μέλλεις λέγειν,' καὶ 'εὖ γε, ὅτι με ὑπέμνησας' καὶ 'τὸ λαλεῖν ὡς χρήσιμόν που' καὶ 'ὃ παρέλιπον' καὶ 'ταχύ γε συνῆκας τὸ πρᾶγμα' καὶ 'πάλαι σε παρετήρουν, εἰ ἐπὶ τὸ αὐτὸ ἐμοὶ κατενεχθήσῃ', καὶ ἑτέρας ἀρχὰς τοιαύτας πορίσασθαι, ὥστε μηδὲ ἀνα-

---

ἐν ᾧ τὰ γράμματα εἴτουν [ἤγουν M] τὰς ψήφους ἀπετίθεσαν [item fere M].

M: Περὶ λαλιᾶς ζʹ. Ἡ λαλιά ἐστιν ἀκρασία λόγων· ὁ δὲ λάλος οἷος ἐμποδὼν γενόμενος παντὶ τῷ ἐντυγχάνοντι. καὶ ἁπλῶς ἀκαίρων λόγων φορητός.

---

26 δραγμῆς B 27 ἡμιβόλια A πράττεσθαι recc.: πλάττεσθαι A B 28 τὰ δὲ ἰχθυοπώλια A τόκους] χαλκοῦς Casaubon 29 ἐμπωλήματος B ἐπιλέγειν Hemsterhuis 30 πρὸς B: εἰς A
VII. 3 τις B: ἐστι τίς A 5 οὐθὲν B: οὐδὲν A 6 αὐτοῦ A B ἀποκριναμένῳ A B: corr. recc. ἐπιβάλλειν A B (cf. viii 2): ὑποβάλλειν recc. 7 εἶπας· σὺ μὴ distinxerunt recc. 10 ἐμοὶ om. A 11 ἀρχὰς corrupte A B: ἀφορμὰς recc.: ταραχὰς conieci; ceterum haec et proxima excerptoris esse videntur

7+8: cf. Pap. Hamb. 143, ed. Gronewald, ZPE 35 (1979) 21-2